Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Capvt V. De Vipiano & Aedesio martyribus.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ἀλλὰ γὰρ μὴ δὲ πρὸς τὰ τοσαῦτα ἐνδιδόντος, λίνοις ἐλαίῳ δεδευμένοις τὼ πόδε αὐτοῦ καλύψαντες, πῦρ ὑφῆπτον ἐκ προστάξεως οἱ βασανισταί· ἐφ᾽ οἷς ὁποίας ὑπήνεγκεν ὁ μακάριος ἀλγηδόνας, πάντα λόγον ὑπερβαίνειν μοι δοκῶ. καθίκετο γοῦν αὐτοῦ διατῆξαν τὰς σάρκας, καὶ τῶν ὀστέων τὸ πῦρ. ὡς κηροῦ δίκην λείβεσθαι καὶ ἀποστάζειν ἐκτηκομένην τὴν ἰκμάδα τοῦ σώματος· ἀλλὰ γὰρ οὐδὲ πρὸς ταῦτα ἐνδοὺς, ἡττημένων ἤδη καὶ μονονουχὶ ἀπειρηκότων πρὸς τὴν ὑπὲρ ἄνθρωπον καρτερίαν αὐτοῦ τῶν ἀντιπάλων, αὖθις δεσμοῖς εἴργνυται· τριταῖός τε αὖ προσαχθεὶς τῷ δικαστῇ, καὶ τὴν αὐτὴν ὁμολογήσας πρόθεσιν, καίτοι γε λοιπὸν ἡμιθνὴς ὑπάρχων, ὑποβρύχιος θαλάττῃ παραδίδοται. τὰ δ᾽ ἐπὶ τούτοις παραχρῆμα γενόμενα, ῥηθέντα μὲν οὐκ ἀπεικὸς παρὰ τοῖς μὴ ὄψει παρειληφόσιν ἀπιστηθήσεσθαι· ἡμᾶς δ᾽ οὖν καίπερ τοῦτ᾽ ἀκριβῶς εἰδότας, οὐχ αἱρεῖ λόγος μὴ οὐχὶ ἐκ παντὸς παραδοῦναι τῷ λόγῳ τὴν ἱστορίαν, τῷ καὶ μάρτυρας εἶναι τοῦ γεγενημένου ἁπλῶς εἰπεῖν ἅπαντας τοὺς τὴν Καισάρειαν οἰκοῦντας. οὐδεμία γοῦν ἡλικία τῆς παραδόξου ταύτης ἀπελείφθη θέας. αὐτίκα γοῦν ὡς ἐδόκει μάλιστα κατὰ μέσου πελάγους ἐν ἀπείροις βυθοῖς τὸν ἱερὸν ὄντως ἐκεῖνον καὶ τρισμακάριον ἐμβαλεῖν, κλόνος ἀθρόως οὐχ ὁ τυχὼν καὶ βρασμὸς αὐτήν τε τὴν θάλασσαν καὶ τὸ περιέχον ἅπαν διαχεῖ. ὡς καὶ τὴν γῆν καὶ τὴν πόλιν ἅπασαν πρὸς τοῦ γινομένου σεισθῆναι. ἅμα δὲ τῷ παραδόξῳ τούτῳ καὶ ἀθρόῳ σεισμῷ, τοῦ θείου μάρτυρος τὸν νεκρὸν ἡ θάλαττα, ὥσπερ μὴ οἵα τε οὖσα φέρειν αὐτὸν, πρὸ τῶν τῆς πόλεως ἐκβράσσει πυλῶν. καὶ τοιαῦτα μὲν ἦν τὰ κατὰ τὸν θεσπέσιον Ἀπφιανὸν, Ξανθικοῦ μηνὸς δευτέρᾳ, ἥτις ἂν εἴη πρὸ τεσσάρων νωννῶν Ἀπριλλίων, ἡμέρᾳ παρασκευῆς τελειωθέντα.

A Verùm cùm ille tantis doloribus nullatenus cederet, tortores jussu Præsidis linum oleo madefactum pedibus ejus circumponentes, ignem postea subjecerunt. Quo facto quantos beatissimus martyr dolores persenserit, nulla ut arbitror oratione explicari potest. Ignis siquidem consumptis ejus carnibus ad ossa usque penetrabat: adeo ut universus humor corporis ceræ instar liquefactus stillatim diffflueret. Sed neque his cruciatibus superatus, licet jam victis & ob portentosam ejus fortitudinem animo despondentibus adversariis, B rursus in vincula compingitur. Dehinc tertio post die judici oblatus, eandemque fidei constantiam professus, licet semivivus, in profundum mare demersus est. Ea verò quæ continuò subsecuta sunt, illis fortasse si retulero, incredibilia videbuntur qui oculis suis hæc minimè viderunt. Verùm tametsi id procul dubio eventurum intelligam, facere nullo modo possum, quin rem gestam posterorum memoriæ commendem: quippe cum universi propemodum incolæ urbis Cæsareæ testes huius miraculi exstiterint. Nulla certè ætas C tam stupendæ rei spectaculo non interfuit. Postquam igitur sanctissimum illum ac beatissimum juvenem medio mari in altissimum, ut ipsis videbatur, gurgitem submerserunt, repentè tantus motus tantusque fragor non solum mare verùm etiam cælum omne concussit, ut terra quoque & ipsa Cæsariensium civitas eo motu quateretur. Eodemque temporis momento quo repentinus ille ac mirabilis terræ motus acciderat, divini martyris cadaver, utpote quod marini fluctus continere non poterant, ab iisdem ante portas ci- D vitatis ejectum est. Hujusmodi fuit exitus admirandi Apphiani die secundo mensis Xanthici, quod est ante diem quartum nonas Apriles, feria sexta.

---

## Caput V.

*De Vipiano & Ædesio martyribus.*

Ὑπὸ δὴ τὸν αὐτὸν καιρὸν, αὐταῖς τε ἡμέραις, ἐπὶ τῆς Τυρίων πόλεως νεανίας Οὐλπιανὸς ὄνομα, μετὰ δεινὰς καὶ αὐτὸς αἰκίας, μάστιγάς τε χαλεπωτάτας, ἅμα κυνὶ καὶ ἀσπίδι τῷ ἰοβόλῳ ἑρπετῷ ὠμοβοίνῃ περιειληθεὶς δορᾷ, θαλάττῃ παραδίδοται. διό μοι δοκεῖ ἐν τοῖς Ἀπφιανοῦ

Per idem tempus iisdemque pæne dieb⁹ in urbe Tyro adolescens quidam Ulpianus nomine, post crudeles plagas & acerbissima flagrorum verbera, unà cum cane & aspide in culeum ex crudo bovis corio insutus, in mare præcipitatus est. Proinde cum Apphiani

martyrio jure merito hic à nobis commemorandus videtur. Aliquanto post tempore Ædesius, tam secundùm Deum quàm juxta carnem Apphiani frater germanus, germana cum illo perpessus est. Quippe post innumerabiles confessiones; post diuturnos carceris & vinculorum cruciatus; post Præsidum sententias quibus ad metalla Palæstinæ fuerat condemnatus; post vitæ rationem planè Philosophicam quam in pallio Philosophico agens perpetuò traduxerat: longiùs enim quam frater in disciplinis processerat, utpote qui operam dedisset Philosophiæ: tandem apud Alexandriam cùm Judicem qui de Christianis quæstionem habebat, supra modum debacchantem atque insultantem vidisset; & nunc quidem viros graves variis afficientem contumeliis: nunc mulieres eximia castitate præditas atque etiam virgines Deo devotas lenonibus ad omne genus turpitudinis dedentem, idem ac frater facere conatus est. Cùm enim hæc ipsi intolerabilia viderentur, ingenti animi fiducia accessit ad Judicem. Cúmque verbis simul & factis illum pudore atque ignominia perfudisset, posthæc multiplices tormentorum cruciatus fortiter perpessus, tandem in mare præcipitatus, eodem quo frater genere mortis interiit. Et hæc quidem Ædesio tametsi aliquanto post tempore, ut jam dixi, ad hunc modum contigerunt.

A μαρτυρίοις εὐλόγως ἡμῖν μνημονεύεσθαι. καὶ τὰ
ἀδελφὰ δὲ τῷ Ἀπφιανῷ σμικρὸν τῷ χρόνῳ
ὕστερον ὑπομείνας, ὁ μὴ μόνον αὐτῷ κατὰ θεὸν
καὶ σώματι δὲ ὁμοπάτριος ἀδελφὸς Αἰδέσιος,
μετὰ μυρίας ὅσας ὁμολογίας καὶ πολυχρονίους
δεσμῶν κακώσεις, ἡγεμονικάς τε ἀποφάσεις,
ἐν αἷς τοῖς κατὰ Παλαιστίνην δέδοται μετάλ-
λοις. καὶ μετὰ τὴν ἐν πᾶσι τούτοις φιλόσοφον ἐν
τρίβωνος σχήματι ἀγωγήν. καὶ γὰρ οὖν ἀνὰ
πλέον τοῦ ἀδελφοῦ παιδείας κεκτημένος καὶ
B ἀπὸ μαθημάτων φιλοσόφων ὡρμᾶτο, τελευ-
τῶν δῆτα ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως τὸν
αὐτόθι συνιδὼν δικαστὴν Χριστιανοῖς δικάζον-
τα, πέρα τε τῶν προσηκόντων ἐμπαροινοῦντα,
τοτὲ μὲν σεμνοῖς ἀνδράσι ποικίλως ἐνυβρίζον-
τα. τοτὲ δὲ γυναῖκας σωφροσύνης τῆς ἀνωτά-
τω καὶ αὐτοπαρθένους ἀσκητρίας εἰς αἰσχρὰς
ὕβρεις πορνοτρόφοις παραδιδόντα. ταὐτὸν ἐγ-
χειρήσας τῷ ἀδελφῷ, ὅτι δὴ ἀφόρητα ἐδόκει
αὐτῷ τὰ γινόμενα ἐδόκει, παραστήματι θαρ-
σαλέῳ πρόσεισι. λόγοις τε καὶ ἔργοις τὸν δικαστὴν
αἰσχύνῃ καὶ ἀτιμίᾳ περιβαλών, κἄπειτα
καρτερῶς εὖ μάλα βασάνων πολυτρόπους ὑ-
πομείνας αἰκίας, τὴν ἀδελφικὴν ἀπηνέγκατο
C θαλάττῃ παραδοθείς, τελευτήν. ἀλλὰ τὰ μὲν
κατὰ τοῦτον, ὡς δ' οὖν ἔφην μικρὸν τῷ χρόνῳ
ὕστερον, τοῦτον ἐγενήθη τὸν τρόπον.

Caput VI.

*De Agapio martyre.*

Anno autem quarto persecutionis adversus nos concitatæ, die vicesimo mensis Dii, quod est ante diem duodecimum Calendas Decembres, feria sexta, apud eandem urbem Cæsaream martyrium prorsus memorabile perpetratum est, præsente tyranno ipso Maximino, & ob natalem suum spectacula populis exhibente. Cùm esset vetus consuetudo, ut præsentibus Imperatoribus magnifica, si unquam aliàs, spectacula majorem solito voluptatem spectantibus præberent; novis undique & insuetatis conquisitis miraculis, partim ferarum quæ ex India aut Æthiopia aut aliunde advectæ in amphitheatrum introducebantur; partim hominum qui exercitatis ante corporibus stupenda exhibentes artis suæ specimina, spectatores mirabili volu-

Τετάρτῳ γε μὴν τοῦ καθ' ἡμᾶς ἔτει διωγ-
μοῦ, πρὸ δώδεκα Καλανδῶν Δεκεμβρί-
ων, ἢ γένοιτ' ἂν μηνὸς Δίου εἰκάδι, προσαββά-
του ἡμέρᾳ, κατὰ τὴν αὐτὴν Καισάρειαν, γρα-
φῆς ὡς ἀληθῶς ἄξιον, αὐτοῦ δὴ τοῦ τυράννου
D Μαξιμίνου παρόντος καὶ θέας τοῖς πλήθεσι φι-
λοτιμουμένου κατὰ τὴν λεγομένην αὐτοῦ γενέθ-
λιον ἡμέραν, ἀπετελέσθη τοιοῦτον. ἔθους τὸ πάλαι
ὄντος ἐπὶ βασιλέων, εἰ καὶ ἄλλοτε τὰς φιλοτιμίας
θέας πλείους τοῖς θεαταῖς ἐμπαρέχειν θυμη-
δίας, καινῶν καὶ ξένων τά τε συνήθη παρηλλαγμέ-
νων τῶν θεαμάτων, ζώων ὅπη τῶν ἐξ Ἰνδίας
Αἰθιοπίας, ἢ καὶ ἄλλοθεν εἰσκομιζομένων, ἢ καὶ ἀν-
δρῶν ἐντέχνοις τισὶ σωμασκίαις, παραδόξους
ψυχαγωγίας τοῖς ὁρῶσιν ἐνδεικνυμένων, πάντως